κάτοχον ὁ διάδοχος, κατέπαυσε παρεάσας, καὶ τραπεὶς πρὸς ἄλλα ἐταλαιπώρει. Τοῦ γὰρ πολέμου ἀτασθάλως ἔτι φερομένου, προσταγῆς ὑπὸ τῶν κρατούντων περὶ ἀνδρολογίας καὶ αὖθις ναυτῶν, εἴτουν εἰσφορᾶς ὁπλομάχων τῷ πατριάρχῃ ἐνεχθείσης, πάλιν ἀπαιτήσεις χρημάτων παρὰ τῶν ἐνδημούντων τῇ μεγάλῃ ταύτῃ πόλει ἀρχιερέων ὑπὲρ τῶν παραλίων ἐπαρχιῶν ἐπεβαρύνοντο. Ἐν τούτοις οὖν ἐταλαιπώρουν οἱ ἅγιοι ἀρχιερεῖς, καὶ οἱ ἐπ' αὐτοῖς παράλιοι εὐσεβεῖς ἀπαιτούμενοι χρήματα περιελαύνοντο ὑπὸ δεινῆς τῆς ἀνάγκης, ἀποδιδόντες μὲν ὅσα εἶχον, δανειζόμενοι δὲ ὅθεν ἠδύναντο.

Τοῦ δὲ ἔαρος ἐπανθοῦντος προέλαμψεν ἡ τῆς ποθουμένης εἰρήνης αὐγὴ προανατέλλουσα. Τὰ δὲ τῆς ἐκκλησίας συνέστρεφε καὶ συνετάραττεν ἥτε ἐπάνοδος τοῦ πρὶν ἐξωσθέντος Νικομηδείας Μελετίου, καὶ ἡ τοῦ πατριάρχου παλιμβουλία, καὶ ἄστατος γνώμη, καὶ ἀκανόνιστος ἐν πᾶσι περιφορά. Ὁ μὲν γὰρ ἐπανελθών, ἀδίκως ἀπελαθῆναι τοῦ θρόνου ἀπισχυρίζετο, καὶ τῆς τοιαύτης ἀδίκου ἐξορίας ἔγγραφον παρὰ τῶν ἐνδημούντων ἀρχιερέων τὴν μαρτυρίαν ἐλάμβανε, καὶ τοὺς κατ' αὐτοῦ μανέντας ὑπὸ χεῖρα εἶχε λαβὼν αὐτῶν τὰς ὑπογραφάς, ἐκεῖνον μὲν ἀθωούντων, ἑαυτῶν δὲ καταμαρτυρούντων ἀνοσιώτατα. Ὁ δὲ ἐκαραδόκει, καὶ τὸν πάντα ἑαυτοῦ ἐξυφαίνειν ἱστὸν ἐπὶ τὸν θάνατον τοῦ τότε Δέρκων Ἀνανίου ἀπέβλεπε, πολλὴν ἐντεῦθεν καρπωσάμενος, ὡς ἐδόκει, τὴν ὠφέλειαν. Κατευτυχήσας οὖν, ὡς τοῦ ἀοιδίμου ἐκείνου γέροντος τῇ εἰκοστῇ ἕκτῃ Μαρτίου ἐντεῦθεν εἰς τὰς μακαρίων μονὰς ἀπελθόντος, τὸν μὲν Νικομηδείας Γεράσιμον ὑπαγαγὼν εἰς Δέρκων κατέστησε, ἀπέδωκε δὲ τὴν Νικομήδειαν τῷ Μελετίῳ, δόξας διευθετῆσαι τὰ σκολιά, καὶ τὰ ἀντιπίπτοντα περιελεῖν.

Ἀλλ' οὔπω ταῦτα διαθέμενος, εἰσπηδήσας δὲ ὡς βαρὺς ἐπ' Ἀντιόχειαν ὁ οἰκουμενικός, πρότερον τὸν μακαριώτατον πάπαν καὶ πατριάρχην Ἀλεξανδρείας διαταράξας καὶ μὴ κα-